ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη·
κεχηνότος γὰρ ἀνδρός, οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται·
ἴσην δ' ἔχοντες μοῖραν οὐ γινώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν,
καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδην,
ἐξ οὗ τε τοὺς μὲν Ἀΐδης ἐδέξατο
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους
. . . . . . .

**8** Ath. 299c

ὥσπερ ἔγχελυς κατὰ γλοιοῦ.

**9** Ib.

ἐρωιδιὸς γὰρ ἔγχελυν Μαιανδρίην
τρίορχον εὑρὼν ἐσθίοντ' ἀφείλετο.

**10** Schol. Eur. *Phoen.* 207

τί ταῦτα †διὰ μακρῶν λόγων† ἀνέδραμον;

ἀντὶ τοῦ ἀναδραμεῖν μέλλω.

**10a** Erenius Philo 103 (Nickau, *Ammonius* p. 73) Σιμωνίδης ἐν πρώτῳ ἰάμβῳ (-ων Nickau)·